γαίκας, καὶ τἆλλα, ὅσα προσῆκε λειτουργεῖν ἐν τῷ δήμῳ, ὑπὲρ τῆς γυναικός, ἀπό γε οὐσίας τηλικαύτης. Οὐ τοίνυν φανεῖται οὐδὲν τούτων γεγενημένον οὐδεπώποτε. Οἱ μὲν οὖν φράτορες μεμαρτυρήκασιν ὑμῖν. Λάβε δὴ καὶ τὴν τῶν δημοτῶν ἐκείνου μαρτυρίαν.

# ΕΚ ΤΩΝ ΑΝΤΙΦΩΝΤΟΣ

## Λόγος περὶ χορευτοῦ.

### Ὑπόθεσις.

Χορευτής ἐστιν ὁ χορηγός, ὁ τοὺς παῖδας τοὺς ἐν ἐλευθέροις καὶ ἄλλοις δημοσίοις ἀγῶσι χορεύσοντας ἰδίαις δαπάναις, ἢ τῆς φυλῆς ἀφ' ἧς ὁ χορηγός, παρὰ τοῦ χοροδιδασκάλου διδαχθῆναι καὶ μαθεῖν φροντίζων. Ἤγετο οὖν ἑορτὴ κατὰ μῆνα Θαργηλιῶνα εἰς τιμὴν Ἀπόλλωνος, καὶ Ἀρτέμιδος, Θαργήλια καλουμένη· καὶ χορηγὸς ἔλαχεν, περὶ οὗ ὁ παρὼν λόγος Ἀντιφῶντι συνετέθη, ἐκ φυλῆς Ἐρεχθηίδος, καὶ προσέτι Κεκροπίδος, (ἀπὸ γὰρ ἑκάστης φυλῆς εἷς χορηγὸς ᾑρεῖτο πρὸς τὸ τρέφειν χοροὺς παίδων τε καὶ ἀνδρῶν καὶ τὰ ἀναλώματα παρέχειν τὰ περὶ τὸν χορόν) οὗτος ὁ χορηγὸς τοὺς χορεύειν μέλλοντας παῖδας ἐπὶ τῆς οἰκίας ἔτρεφε· τούτων εἷς εὐφωνίας χάριν ἔπιε φάρμακον καὶ πιὼν τέθνηκεν· ὁ οὖν πατὴρ τοῦ τεθνεῶτος παιδὸς κατηγορεῖ τοῦ χορευτοῦ ὡς αὐτοῦ πεποιηκότος τὸν φόνον· ἀπολογεῖται δὲ ὁ χορευτὴς τὸν φόνον ἀρνούμενος.

§ 1. Ἥδιστον μέν, ὦ ἄνδρες δικασταί, ἀνθρώπῳ ὄντι μὴ γενέσθαι[2] μηδένα κίνδυνον περὶ τοῦ σώματος, καὶ εὐχόμενος ἄν τις ταῦτα εὔξαιτο· εἰ δ' ἄρα τις καὶ ἠναγκάζετο κινδυνεύειν, τοῦτο γοῦν ὑπάρχειν, ὃ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι τοιούτῳ, αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξαμαρτηκότι, ἀλλ' εἴτις συμφορὰ γένοιτο, ἄνευ κακότητος καὶ αἰσχύνης γίγνεσθαι, καὶ τύχῃ μᾶλλον ἢ ἀδικίᾳ. Καὶ τοὺς μὲν νόμους, οἳ κεῖνται περὶ τῶν τοιούτων, πάντες ἂν ἐπαινέσειαν, κάλλιστα νόμων κεῖσθαι καὶ ὁσιώτατα. Ὑπάρχει μὲν γὰρ αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν· ὅπερ μέγιστον σημεῖον νόμων καλῶς κειμένων. Ὁ χρόνος γὰρ καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους. Ὥστ' οὐ δεῖ ἐκ τῶν λόγων τοῦ κατηγοροῦντος ὑμᾶς τοὺς νόμους μαθεῖν, εἰ καλῶς ἔχουσιν, ἢ μή, ἀλλ' ἐκ τῶν νόμων τοὺς τούτων λόγους, εἰ ὀρθῶς ὑμᾶς καὶ νομίμως διδάσκουσιν, ἢ οὔ.

§ 2. Ὁ μὲν οὖν ἀγὼν ἐμοὶ μέγιστος τῷ κινδυνεύοντι καὶ διω-

§ 1. 2. Μὴ γενέσθαι.) Ὑπακούεται, Αὐτοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κομένῳ· ἡγοῦμαι μέν τοι γε καὶ ὑμῖν τοῖς δικασταῖς περὶ πολλοῦ εἶναι τὰς φονικὰς[2] ὀρθῶς διαγινώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα καὶ τοῦ εὐσεβοῦς· ἔπειτα δὲ καὶ ὑμῶν αὐτῶν. Ἔστι μὲν γὰρ περὶ τοιούτου αὐτοῦ[3] μία δίκη· αὕτη δὲ μὴ ὀρθῶς[4] καταγνωσθεῖσα, ἰσχυροτέρα ἐστὶ τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς. Ἀνάγκη γὰρ, ἐὰν ὑμεῖς καταψηφίσησθε, καὶ μὴ ὄντα φονέα, μηδὲ ἔνοχον τῷ ἔργῳ, χρῆσασθαι τῇ δίκῃ, καὶ τῷ νόμῳ, εἴργεσθαι[5] πόλεως, ἱερῶν, θυσιῶν, ἀγώνων· ἅπερ μέγιστα καὶ παλαιότατα τοῖς ἀνθρώποις. Τοσαύτην γὰρ ἀνάγκην ὁ νόμος ἔχει, ὥστε καὶ ἄν τις κτείνῃ τινὰ, ὧν αὐτὸς κρατεῖ,[6] καὶ μὴ ἐστὶν ὁ τιμωρήσων, τὸ νομιζόμενον καὶ τὸ θεῖον δεδιὼς,[7] ἁγνεύει τε ἑαυτὸν, καὶ ἀφέξεται ὧν εἴρηται ἐν τῷ νόμῳ, ἐλπίζων οὕτως ἂν ἄριστα πράξειν. Ἔστι μὲν γὰρ τὰ πλεῖω τοῖς ἀνθρώποις τοῦ βίου ἐν ταῖς ἐλπίσιν. Ἀσεβῶν δὲ καὶ παραβαινόντων τὰ εἰς τοὺς θεοὺς, καὶ αὐτῆς ἂν τῆς ἐλπίδος (ὅπερ ἐστὶ μέγιστον ἀνθρώποις τοῦ βίου ἀγαθὸν) αὐτὸς αὑτὸν ἀποστεροίη. Καὶ οὐδεὶς ἂν τολμήσειεν οὔτ' ἂν τὴν δίκην τὴν δεδοκιμασμένην παραβαίνειν, πιστεύσας ὅτι οὐκ ἔνοχός ἐστι τῷ ἔργῳ· οὔτ' αὖ συνειδὼς αὐτὸς αὑτῷ ἔργον εἰργασμένος τοιοῦτον, μὴ οὐ χρῆσθαι τῷ νόμῳ. Ἀνάγκη δὲ τῆς τε δίκης νικᾶσθαι[8] παρὰ τὸ ἀληθὲς, αὐτοῦ τε τοῦ ἀληθοῦς,[9] κἂν μὴ ὁ τιμωρήσων ᾖ. Αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε νόμοι καὶ αἱ διωμοσίαι καὶ τὰ τόμια, καὶ αἱ προῤῥήσεις, καὶ τἄλλα ὅσα γίνεται τῶν δικῶν τοῦ φόνου ἕνεκα, πολὺ διαφέροντά ἐστιν ἢ ἐπὶ τοῖς ἄλλοις·[10] ὅτι καὶ αὐτὰ τὰ

---

§ 2. 2. Τὰς φονικάς) Ὑπακούεται, Δίκας. — 3. Ἔστι μὲν γὰρ περὶ τοιούτου αὐτοῦ.) Περὶ αὐτοῦ γὰρ τοῦ πράγματος τοιούτου ὄντος μία ἐστὶ δίκη. — 4. Αὕτη δὲ μὴ ὀρθῶς.) Ἡ γὰρ δίκη, ἐὰν μὴ ὀρθῶς γνωσθῇ, ἀπατᾷ τὸν δικάζοντα, καὶ οἴεται οὕτως ἔχειν τὸ πρᾶγμα, καὶ οὕτω καταγινώσκει, νομίζων δικαίως καὶ ἀληθῶς δικάζειν· καὶ τοῦτον τὸν τρόπον ἡ δίκη μὴ ὀρθῶς γνωσθεῖσα, δύναται μεῖζον τοῦ δικαίου καὶ ἀληθοῦς· ἡ δὲ Κατὰ, ἐνταῦθα ἐν τῷ Καταγνωσθεῖσα δηλαδὴ ἤτοι παρέλκει, ἢ ἀκρίβειαν δηλοῖ τοῦ Γινώσκειν. — 5 Εἴργεσθαι.) Ἐπεξήγησίς ἐστὶ τοῦ Χρήσασθαι τῇ δίκῃ καὶ τῷ νόμῳ· οἷον· τοῦτ' ἔστιν εἴργεσθαι πόλεως· οὔτε γὰρ εἰς ἀγορὰς τῆς πόλεως, οὔτε εἰς ἱερὰ, οὔτε εἰς θυσίας καὶ τοὺς γυμνικοὺς ἀγῶνας ἐξῆν τῷ αἰτίαν ἔχοντι φόνου ἐλθεῖν· ἐὰν γὰρ ἁλῷ θάνατος ἦν ἡ ζημία. — 6. Ὧν αὐτὸς κρατεῖ.) Τῶν δούλων δηλ. — 7. Δεδιώς.) Ὁ κτείνας τινὰ τῶν δούλων δηλ. σεβόμενος τὸ δίκαιον τῶν θεῶν καὶ τῶν ἀνθρώπων, ἁγνεύει ἑαυτὸν· καὶ τλ. τὸ δέ τοι Καὶ ἀφέξεται ἐπεξήγησίς ἐστὶ τοῦ Ἁγνεύει· οὕτω γὰρ ἁγνεύει ἑαυτὸν ὁ φόνον ἐργασάμενος, ἀπεχόμενος ὧν ὁ νόμος εἴργει. — 8. Τῆς τε δίκης νικᾶσθαι) Τὸ νικᾶσθαι γενικῇ κατὰ τὸ Ἡττᾶσθαι· ὅ ἐστιν· ἧττον γίνεται τῆς δίκης. — 9 Αὐτοῦ τε ἀληθοῦς.) Ἀπὸ κοινοῦ τὸ Νικᾶσθαι· ὁ νοῦς· νικᾶται γὰρ ὑπὸ τῆς δίκης διὰ τὸ ἀληθὲς καὶ οὐ παραβαίνειν αὐτὴν τολμᾷ, καὶ ὑπ' αὐτοῦ δὲ τοῦ ἀληθοῦς νικᾶται συνειδὼς ἑαυτῷ εἰργασμένος τοιοῦτο, δοῦλόν τινα δηλαδὴ φονεύσας, κἂν μὴ ὁ τιμωρήσων ᾖ. — 10. Ἢ ἐπὶ τοῖς ἄλλοις.) Ἀδικήμασι· κατὰ δοτικὴν ἡ Ἐπὶ διὰ τὸ ταυτόσημον τοῦ Ἕνεκα· ὁμοιοπτώτως γὰρ τὰ διαφορετικὰ συντάσσονται μετὰ τοῦ ἤ· ὡσὰν εἰ ἔλεγε· πολὺ διαφέροντα ἐστὶν ἕνεκα τοῦ φόνου ἢ ἐπὶ τοῖς ἄλλοις, εἴτ' οὖν ἕνεκα

πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν[11] ὀρθῶς γιγνώσκεσθαι. Ὀρθῶς μὲν γὰρ γνωσθέντα, τιμωρία ἐστὶν ὑπὲρ τοῦ ἀδικηθέντος· φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι, ἁμαρτία καὶ ἀσέβεια εἴς τε τοὺς θεοὺς καὶ τοὺς νόμους. Καὶ οὐκ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρθῶς αἰτιᾶσθαι, καὶ ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς γνῶναι. Ἡ μὲν γὰρ τούτου[12] αἰτίασις οὐκ ἔχει νῦν τέλος, ἀλλ' ἐν ὑμῖν[13] ἐστὶ καὶ τῇ δίκῃ, ὅ,τι δ' ἂν ὑμεῖς μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅπῃ ἂν ἀνενεγκών τις τὴν αἰτίαν ἀπολύσαιτο.

§ 3. Ἐγὼ δὲ, ὦ ἄνδρες, οὐ τὴν αὐτὴν γνώμην ἔχω περὶ τῆς ἀπολογίας, ἥνπερ οἱ κατήγοροι περὶ τῆς κατηγορίας. Οὗτοι γὰρ τὴν μὲν δίωξιν,[2] εὐσεβείας ἕνεκά φασι πεποιεῖσθαι καὶ τοῦ δικαίου· τὴν δὲ κατηγορίαν ἅπασαν πεποίηνται διαβολῆς ἕνεκα καὶ ἀπάτης· ὅπερ ἀδικώτατόν ἐστιν τῶν ἐν ἀνθρώποις. Καὶ οὐκ ἐξελέγξαντες, εἴγ' ἀδικῶ, δικαίως μὲν βούλονται τιμωρεῖσθαι· ἀλλὰ διαβάλλοντες, καὶ εἰ μηδὲν ἀδικῶ, ζημιῶσαι καὶ ἐξελάσαι ἐκ τῆς γῆς ταύτης. Ἐγὼ δὲ ἀξιῶ πρῶτον μὲν περὶ αὐτοῦ τοῦ πράγματος κρίνεσθαι, καὶ διηγήσασθαι ἐν ὑμῖν τὰ γενόμενα πάντα· ἔπειτα περὶ τῶν ἄλλων, ὧν οὗτοι κατηγορήσουσιν, ἐὰν ὑμῖν ἡδομένοις ᾖ, βουλήσομαι ἀπολογήσασθαι. Ἡγοῦμαι γάρ μοι τιμὴν καὶ ὠφέλειαν αὐτὰ οἴσειν, τοῖς δὲ κατηγόροις καὶ τοῖς ἐπηρεάζουσιν αἰσχύνην. Ἐπείτοι γε καὶ δεινόν, ὦ ἄνδρες·[3] ἵνα μὲν[4] ἐξῆν αὐτοῖς, εἴ τι ἐγὼ ἠδίκουν τὴν πόλιν ἢ ἐν χορηγίᾳ, ἢ ἐν ἄλλοις τισίν, ἀποφῆνασι καὶ ἐξελέγξασιν, ἄνδρα τε ἐχθρὸν τιμωρήσασθαι, καὶ τὴν πόλιν ὠφελῆσαι, ἐνταῦθα μὲν[5] οὐδεὶς πώποτε οἷός τ' ἐγένετο αὐτῶν οὔτε μικρὸν, οὔτε μέγα ἐλέγξαι ἀδικοῦντα τόνδε τὸν ἄνδρα[6] τὸ πλῆθος τὸ ἡμέτερον· ἐν δὲ τούτῳ τῷ ἀγῶνι, φόνου διώκοντες, καὶ τοῦ νόμου οὕτως ἔχοντος[7] εἰς αὐτὸ τὸ πρᾶγμα κατηγορεῖν, μηχανῶνται ἐπ' ἐμὲ λόγους ψευδεῖς συντιθέντες, καὶ διαβάλλοντες τὰ εἰς τὴν πόλιν·[8] καὶ τῇ μὲν πόλει, εἰ μὲν ἀδικεῖται, κατηγορίαν ἀντὶ τιμωρίας ἀπονέμουσιν,[9] αὐτοὶ δὲ ᾧ[10] τὴν πόλιν

---

ἄλλων ἀδικημάτων. — 11. Περὶ πλείστου ἐστίν.) Φράσις· ὅτι καὶ τὸ γινώσκεσθαι δηλαδὴ αὐτὰ τὰ πράγματα, τὰ περὶ φόνου, πολὺ ἐστὶν ἐπιθυμητότερον καὶ προτιμότερον τῶν ἄλλων. — 12. Ἡ μὲν γὰρ τούτου.) Τοῦ ἀντιδίκου μου, τοῦ διώκοντος. — 13. Ἀλλ' ἐν ὑμῖν.) Ἀλλὰ τὸ τέλος ἐστὶν ἐν τῇ ὑμετέρᾳ ψήφῳ καὶ οὐκ ἐν τῇ αἰτιάσει τούτου.

§ 3. 2. Τὴν μὲν δίωξιν.) Οἷον· εἰς μὲν τὸ κριτήριον ἤγαγόν με, ὥς φασίν, εὐσεβείας καὶ τοῦ δικαίου ἕνεκα· κατηγοροῦντες δὲ οὐ τοῦτο δεικνύουσιν, ἀλλὰ διαβάλλουσί με καὶ ἀπατᾷν ὑμᾶς πειρῶνται. — 3. Δεινὸν, ὦ ἄνδρες.) Καὶ δεινὸν ἂν εἴη, ὦ ἄνδρες. — 4. Ἵνα μέν.) Τοπικὸν τὸ Ἵνα, ἀντὶ Ἔνθα. — 5. Ἐνταῦθα μέν.) Ἀπόδοσις τοῦ Ἵνα. — 6. Τόνδε τὸν ἄνδρα.) Ἀντὶ Ἐμὲ, κατὰ τὸ τῶν τραγικῶν ἔθος εἴρηται. — 7. Οὕτως ἔχοντος.) Ὅπερ ἐστὶν, οὕτω λέγοντος, ἢ οὕτως ἀγορεύοντος. — 8. Τὰ εἰς τὴν πόλιν.) Ὑπακούεται ἢ Ἐμὰ ἀδικήματα, ἢ Ἐμοὶ πεπραγμένα. — 9. Ἀπονέμουσιν.) Οὐ γὰρ σκοπὸς αὐτῶν τὸ τιμωρήσασθαι ὑπὲρ τῆς πόλεως τοὺς ἐχθροὺς, ἀλλ' ἵνα δημοσιευθέντων τῶν ὑπαρχόντων αὐτῶν, ἁρπάσωσί τι καὶ αὐτοί.

φασὶν ἀδικεῖσθαι, τουτουῒ δὴ ἀξιοῦσι δίκην λαμβάνειν. Καί τοι αὗται αἱ κατηγορίαι, οὔτε χάριτος ἄξιαι, οὔτε πίστεως. Οὔτε γὰρ δὴ, οὗ ἡ πόλις ἐλάμβανεν ἂν δίκην, εἴτι ἠδίκητο, ἐνταῦθα τὴν κατηγορίαν ποιεῖται,[11] ὥστε χάριτος ἄξιον εἶναι τῇ πόλει· οὔτε, ὅς τις[12] ἄλλα κατηγορεῖ, ἢ ἃ διώκοι, ἐν πράγματι τοιούτῳ, πιστεῦσαι δή που αὐτῷ ἀξιώτερόν ἐστιν ἢ ἀπιστῆσαι. Ἐγὼ δὲ σχεδὸν ἐπίσταμαι τὴν ὑμετέραν γνώμην, ὅτι οὐκ ἂν καταψηφίσησθε, οὔτ' ἂν ἀποψηφίσησθε ἑτέρου τινὸς ἕνεκα μᾶλλον, ἢ αὐτοῦ τοῦ πράγματος. Ταῦτα γὰρ καὶ δίκαια καὶ ὅσια. Ἄρξομαι δὲ ἐντεῦθεν.

§ 4. Ἐπειδὴ χορηγὸς κατεστάθην εἰς Θαργήλια, καὶ ἔλαχον Πανταλέα διδάσκαλον,[2] καὶ Κεκροπίδα φυλὴν πρὸς τῇ ἐμαυτοῦ, τοῦτ' ἔστι τῇ Ἐρεχθηΐδι,[3] ἐχορήγουν ὡς ἄριστα ἐδυνάμην καὶ δικαιότατα. Καὶ πρῶτον μὲν διδασκαλεῖον, ᾗ ἐπιτηδειότατον τῆς ἐμῆς οἰκίας, κατεσκεύασα, ἐν ᾧπερ, καὶ ὅτε Διονυσίοις ἐχορήγουν, ἐδίδασκον.[4] Ἔπειτα τὸν χορὸν συνέλεξα ὡς ἐδυνάμην ἄριστα, οὔτε ζημιώσας οὐδένα, οὔτε ἐνέχυρα βίᾳ φέρων,[5] οὔτ' ἀπεχθανόμενος οὐδενί· ἀλλ' ὥσπερ ἂν ἥδιστα καὶ ἐπιτηδειότατα ἀμφοτέροις[6] ἐγίνετο, ἐγὼ μὲν ἐκέλευον[7] καὶ ἡγούμην,[8] οἱ δ' ἑκόντες καὶ βουλόμενοι ἔπεμπον. Ἐπειδὴ δὲ ἧκον οἱ παῖδες, πρῶτον μέν μοι ἀσχολία ἦν παρεῖναι καὶ ἐπιμελεῖσθαι. Ἐτύγχανε γάρ μοι πράγματα ὄντα πρὸς Ἀρίστωνα καὶ Φιλῖνον, ἃ ἐγὼ περὶ πολλοῦ ἐποιούμην, ἐπειδὴ παρήγγειλα, ὀρθῶς καὶ δικαίως ἀποδεῖξαι καὶ τοῖς ἄλλοις Ἀθηναίοις. Ἐγὼ μὲν οὖν τούτοις προσεῖχον τὸν νοῦν. Κατέστησα δὲ ἐπιμελεῖσθαι, εἴ τι δέοι τῷ χορῷ, Φανόστρατον, δημότην[9] μὲν τουτονὶ τῶν διωκόντων, κηδεστὴν δὲ ἐμαυτοῦ, ᾧ ἐγὼ δέδωκα τὴν θυγατέρα. Καὶ ἠξίουν αὐτὸν ἄριστα ἐπιμελεῖσθαι.

— 10. Αὐτοὶ δὲ, ῷ.) Αὐτοὶ δὲ ἀξιοῦσι τιμωρεῖσθαι ἐκεῖνον, ὑφ' οὗ φασὶν ἀδικεῖσθαι τὴν πόλιν. — 11. Ποιεῖται.) Οὕτω γὰρ οὐ κατηγοροῦσι περὶ ὧν ἡ πόλις, ὡς ἀδικηθεῖσα, δίκας μὲν ἀξίως ἂν ἐλάμβανε παρὰ τῶν κατηγορουμένων· τοῖς δὲ κατηγοροῦσιν ὤφειλε χάριτας ἀπονέμειν, ὡς δι' αὐτῶν μόνων διαμένουσα· τῶν γὰρ ὑβριστῶν δίκας διδόντων, ἡ πόλις διασώζει τὰ πράγματα. — 12. Οὔτε, ὅς τις.) Οὔτε ἐστὶν ἀξιώτερον πιστεῦσαι ἢ ἀπιστῆσαι ἐν τοιούτῳ πράγματι, ὅς τις ἄλλο κατηγορεῖ.

§ 4. 2. Διδάσκαλον.) Τοῦ χοροῦ δηλαδὴ, ὃς ἐκαλεῖτο χοροδιδάσκαλος· οὗτος γὰρ τὸν ῥυθμὸν καὶ χρόνον ἔν τε τῷ χορεύειν, καὶ ᾄδειν τῇ χειρὶ παρενέφαινεν, εὐρύθμως καὶ κατὰ τάξιν χρόνου κινῶν· καὶ τοῦτον τὸν τρόπον τὰ τοῦ χοροῦ διώκει. — 3. Τοῦτ' ἔστι τῇ Ἐρεχθηΐδι.) Ἡ ἐπεξήγησις αὕτη μᾶλλον δοκεῖ παρὰ τοῖς ὕστερον προσθήκη τις εἶναι, ἢ Ἀντιφῶντος, οὐδὲ γὰρ ἔδεε ἐπεξηγήσεως τῆς ἑαυτοῦ φυλῆς, ἐν Ἀθηναίοις λέγοντος. — 4. Ἐδίδασκον.) Τὸν χορὸν τῶν παίδων. — 5. Βίᾳ φέρων.) Ἤτοι· οὐκ ἐλάμβανον βίᾳ ἐνέχυρα. — 6. Ἀμφοτέροις.) Ἐμοί τε καὶ τοῖς γονεῦσι τῶν παίδων τῶν χορεύειν μανθανόντων. — 7. Ἐκέλευον.) Ἐλλείπει· Πέμπειν τοὺς παῖδας ὡς ἐμὲ χάριν τοῦ διδάσκεσθαι. — 8. Ἡγούμην.) Ἀντὶ ὑφηγούμην ἢ ἐξηγούμην· οὕτω γὰρ δοκεῖ κατὰ τοὺς Ἀντιφῶντος χρόνους τὸ ἁπλοῦν εἶναι ἐν χρήσει ἀντὶ τοῦ συνθέτου· καὶ λέγεται δὴ ἀρχαϊσμός. — 9. Δημότην.) Ἐκ τοῦ αὐτοῦ δήμου δηλαδὴ ὄντα τουτοισὶ τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι δὲ πρὸς τούτῳ δύο ἄνδρας, τὸν μὲν, Ἐρεχθηΐδος, Ἀμυνίαν, ὃν αὐτοὶ οἱ φυλέται ἐψηφίσαντο συλλέγειν[10] καὶ ἐπιμελεῖσθαι τῆς φυλῆς ἑκάστοτε, δοκοῦντα χρηστὸν εἶναι· τὸν δ' ἕτερον, τῆς Κεκροπίδος, ὅσπερ ἑκάστοτε εἰώθει ταύτην τὴν φυλὴν συλλέγειν. Ἔτι δὲ τέταρτον, Φίλιππον· ᾧ προσετέτακτο ὠνεῖσθαι καὶ ἀναλίσκειν ὅ,τι φράζοι ὁ διδάσκαλος, ἢ ἄλλος τις τούτων, ὅπως ἄριστα χορηγοῖντο οἱ παῖδες, καὶ μηδενὸς ἐνδεεῖς εἶεν διὰ τὴν ἐμὴν ἀσχολίαν. Καθεστήκει[11] μὲν ἡ χορηγία οὕτω· καὶ τούτων εἴ τι ψεύδομαι προφάσεως ἕνεκα, ἔξεστι τῷ κατηγόρῳ ἐλέγξαι ἐν τῷ ὑστέρῳ λόγῳ ὅ,τι ἂν βούληται εἰπεῖν. Ἐπεὶ τοιούτως ἔχει, ὦ ἄνδρες· πολλοὶ τῶν περιεστώτων τούτων τὰ μὲν πράγματα ταῦτα πάντα ἀκριβῶς ἐπίστανται, καὶ τοῦ ὁρκωτοῦ ἀκούουσι, καὶ ἐμοὶ προσέχουσι τὸν νοῦν, ἅττα ἐγὼ ἀποκρίνομαι· οἷς ἐγὼ ἐβουλόμην ἂν δοκεῖν αὐτός τε εὔορκος εἶναι, καὶ ὑμᾶς τἀληθῆ λέγων πεῖσαι ἀποψηφίσασθαί μου.

§ 5. Πρῶτον μὲν οὖν ἀποδείξω ὑμῖν, ὅτε οὔτ' ἐκέλευσα τὸν παῖδα πιεῖν τὸ φάρμακον, οὔτ' ἠνάγκασα, οὔτ' ἔδωκα· καὶ οὔτε παρῆν ὅτ' ἔπιε. Καὶ οὐ τούτου ἕνεκα ταῦτα σφόδρα λέγω,[2] ὡς ἐμαυτὸν ἔξω αἰτίας καταστήσω, ἕτερον δέ τινα εἰς αἰτίαν ἀγάγω. οὐδὴτ' ἔγωγε. Πλήν γε τῆς τύχης,[3] ἥπερ, οἶμαι, καὶ ἄλλοις πολλοῖς ἀνθρώπων αἰτία ἐστὶν ἀποθανεῖν. Ἣν οὔτ' ἂν ἐγὼ, οὔτ' ἄλλος οὐδεὶς οἷός τ' ἂν εἴη ἀποστρέψαι μὴ οὐ γενέσθαι, ἥν τινα δεῖ ἑκάστῳ.[4] Μάρτυρες. Μεμαρτύρηται μὲν οὖν, ὦ ἄνδρες, περὶ τοῦ πράγματος, ἃ ἐγὼ ὑμῖν ὑπεσχόμην.[5] Ἐξ αὐτῶν δὲ τούτων χρὴ σκοπεῖν, ἅτε οὗτοι[6] διωμόσαντο καὶ ἃ ἐγὼ, πότεροι[7] ἀληθέστερα καὶ εὐορκότερα. Διωμόσαντο γὰρ οὗτοι μὲν ἀποκτεῖναί με Διόδοτον[8] βουλεύσαντα αὐτῷ θάνατον· ἐγὼ δὲ μὴ ἀποκτεῖναι, μήτε χειρὶ ἄρασθαι, μήτε βουλεῦσαι.[9] Αἰτιῶνται δὲ οὗτοι μὲν ἐκ τούτων, ὡς οὗτος[10] κελεύσειε πιεῖν τὸν παῖδα τὸ φάρμακον, ἢ ἠνάγκασεν, ἢ ἔδωκεν. Ἐγὼ δὲ[11] ἐξ αὐτῶν τούτων, ὧν αἰτιῶνται

---

διώκουσι. — 10. Συλλέγειν.) Ἐλλείπει, τοὺς παῖδας τοὺς διδαχθησομένους· παρακατιὼν γὰρ λέγει· συλλέγειν τὴν φυλήν· τοῦτ' ἔστι τοὺς παῖδας τῆς φυλῆς. — 11. Καθεστήκει.) Ὁ μὲν περιγραφικός ἐστιν, οὐκ ἔχων εἰς ἀνταπόδοσιν Δὲ, ἔστι δέ τοι ὁ Καὶ, ἐπακολουθητικὸς αὐτῷ, ὥσπερ καὶ παρακατιόντι ἐστὶν ἰδεῖν. Τὰ μὲν πράγματα, καὶ ἀντὶ Δὲ φησί, καὶ τοῦ ὁρκωτοῦ καὶ τλ. καὶ τοῦτο δὲ δοκεῖ κατ' ἀρχαϊσμόν.

§ 5. 2. Σφόδρα λέγω.) Οὕτω δηλονότι σφόδρα διατεινόμενος λέγω· οὗτος δὲ ὁ τρόπος τοῦ λέγειν [illegible] ἐστιν, ἤγουν κατ' ἔλλειψιν, ὡς εἴρηται, ἐστίν. — 3. Πλήν γε τῆς τύχης.) Πλήν γε λέγω ὅτι ἐστὶν ἴδιον τῆς τύχης σίμαθαμα. — 4. Ἥν τινα δεῖ ἑκάστῳ.) Ἀπὸ κοινοῦ αὖ τὸ Γενέσθαι. — 5. Ἃ ἐγὼ ὑπεσχόμην.) Καθ' ἃ ἐγὼ ὑπεσχόμην· ἢ Καὶ ταῦτα εἰσὶν, ἃ ἐγὼ ὑπεσχόμην. — 6. Οὗτοι.) Οἱ ἀντίδικοι. — 7. Πότεροι.) Ἀπὸ κοινοῦ τὸ, διωμόσαντο. — 8. Διόδοτον.) Τὸν παῖδα φησὶ τὸν φαρμάκῳ ἀποθανόντα, περὶ οὗ ἀποθανόντος κρίνεται. — 9. Μήτε βουλεῦσαι.) Αὐτῷ θάνατον ἀπὸ κοινοῦ. — 10. Ὡς οὗτος.) Ὁ Φανόστρατος ὁ ἐμὸς κηδεστής. — 11. [illegible]

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

οὗτοι, ἀποφανῶ, ὅτι οὐκ ἔνοχός εἰμι. Οὔτε γὰρ ἐκέλευσα, οὔτ' ἔδωκα, οὔτ' ἠνάγκασα. Καὶ ἔτι προστίθημι αὐτοῖς, ὅτι οὐ παρεγενόμην πίνοντι, καὶ εἴ φασιν ἀδικεῖν, εἴ τις ἠνάγκασεν, ἐγὼ οὐκ ἀδικῶ· οὐ γὰρ ἠνάγκασα. Καὶ εἰ τὸν δόντα τὸ φάρμακόν φασιν αἴτιον εἶναι, ἐγὼ οὐκ αἴτιος· οὐ γὰρ ἔδωκα.

§ 6. Αἰτιάσασθαι μὲν οὖν καὶ καταψεύσασθαι ἔξεστι τῷ βουλομένῳ (αὐτὸς γὰρ ἕκαστος τοῦτο κρατεῖ.[2]) Γενέσθαι μέντοι τὰ μὴ γενόμενα καὶ ἀδικεῖν τὸν μὴ ἀδικοῦντα, οὐκ ἐν τοῖς τούτων λόγοις ἡγοῦμαι εἶναι, ἀλλ' ἐν τῷ δικαίῳ καὶ ἐν τῷ ἀληθεῖ·[3] ὁπόσα μὲν γὰρ λάθρα πράττεται, καὶ ἐπὶ θανάτῳ βουλευθέντα,[4] ὧν μή εἰσι μάρτυρες, ἀνάγκη περὶ τῶν τοιούτων ἐξ αὐτῶν τῶν λόγων τῶν τοῦ κατηγόρου καὶ τοῦ ἀποκρινομένου τὴν διάγνωσιν ποιεῖσθαι καὶ θηρεύειν, καὶ ἐπὶ σμικρὸν ὑπονοεῖν τὰ λεγόμενα, καὶ εἰκάζοντας μᾶλλον ἢ σάφα εἰδότας,[5] ψηφίζεσθαι περὶ τῶν πραγμάτων. Ὅπου δὲ[6] πρῶτον μὲν αὐτοὶ οἱ κατήγοροι ὁμολογοῦσι μὴ ἐκ προνοίας, μηδ' ἐκ παρασκευῆς γενέσθαι τὸν θάνατον τῷ παιδὶ, ἔπειτα[7] τὰ πραχθέντα φανερῶς, ἅπαντα πραχθῆναι, καὶ ἐναντίον μαρτύρων πολλῶν, καὶ ἀνδρῶν, καὶ παίδων, καὶ ἐλευθέρων καὶ δούλων, ἐξ ὧν περ, καὶ εἴτις ἠδίκησε, φανερώτατος ἂν εἴη, καὶ εἴτις μὴ ἀδικοῦντα αἰτιῷτο, μάλιστα ἐξελέγχοιτο.

§ 7. Ἄξιον δ' ἐνθυμηθῆναι, ὦ ἄνδρες, ἀμφότερα καὶ τὴν γνώμην[1] τῶν ἀντιδίκων, καὶ οἵῳ τρόπῳ ἔρχονται ἐπὶ τὰ πράγματα. Ἐξ ἀρχῆς γὰρ οὐδὲν ὁμοίως οὗτοί τε πρὸς ἐμὲ πράττουσι, καὶ ἐγὼ πρὸς τούτους. Ἔλεξε μὲν γὰρ Φιλοκράτης[3] οὑτοσὶ ἀναβὰς εἰς τὴν Ἡλιακὴν[4] τὴν τῶν Θεσμοθετῶν, τῇ ἡμέρᾳ, ᾗ ὁ παῖς ἐξεφέρετο,

---

§ 6. 2. Τοῦτο κρατεῖ.) Ἔχει δηλαδὴ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τοῦτο τὸ, αἰτιᾶσθαι καὶ καταψεύσασθαι. — 3. Καὶ ἐν τῷ ἀληθεῖ.) Ἀλλ' ἐν τῇ δικαιοσύνῃ καὶ ἀληθείᾳ· εἴτ' οὖν ἐν τῇ δικαίᾳ κρίσει τῆς ἀληθείας. — 4. Βουλευθέντα.) Εἰσὶ δηλ. — 5. Ἢ σάφα εἰδότας.) Τοῦτο δὲ ἀρχαϊσμός· παρὰ ποιηταῖς γὰρ τὸ Σάφα, καὶ ἐν τῷ σάφ' οἶσθα παρὰ λογογράφοις. — 6. Ὅπου δέ.) Ἐν ταύτῃ τῇ περιόδῳ ἐλλείπει τὸ δεύτερον μέρος· οἷον ὅπου δὲ . . . μάλιστα ἐξελέγχοιτο, (ἐννοεῖται·) ἐνταῦθα ῥᾴδιον ἀκριβῶς διαγνῶναι καὶ ψηφίζεσθαι, ἢ ἐνταῦθα οὐκ ἔτι δεῖ εἰκάζοντας, ἀλλὰ καὶ μάλα σαφῶς ἔξεστι ψηφίζεσθαι· ἢ ὅπως ἂν ἄλλως ἔστι λαβεῖν τὸ δεύτερον μέρος τῆς προηγουμένης περιόδου. — 7. Ἔπειτα.) Τὸ Ἔπειτα πολλάκις ἕπεται μετὰ τὸ Μὲν χωρὶς τοῦ Δέ· οὕτω σχεδὸν παρὰ πᾶσι τοῖς ῥήτορσιν.

§ 7. 2. Καὶ τὴν γνώμην.) Ἡ τῆς γνώμης ῥητέον, ἢ γοῦν ἄλλο τι ἐννοητέον, τὸ σκολιὸν δηλαδὴ, καὶ ἄτοπον τῆς γνώμης. — 3. Φιλοκράτης.) Ἀδελφὸς δὲ οὗτος τοῦ φαρμάκῳ ἀποθανόντος. — 4. Εἰς τὴν Ἡλιακήν.) Ἡλιαία ἡ κατὰ Ἀντιφῶντα Ἡλιακή· μέγιστον ἐστι δικαστήριον ἐν Ἀθήναις, συνεστὸς ἐξ ἀνδρῶν χιλίων, ἢ χιλίων πεντακοσίων· οἵτινες Ἡλιασταὶ ἐλέγοντο παρὰ τῶν Θεσμοθετῶν συλλεγόμενοι· Θεσμοθέται δὲ ἐλέγοντο ἐκ τῶν καλουμένων ἐννέα ἐν Ἀθήνῃσιν ἀρχόντων ἕξ, τὴν τῶν νόμων ἐπιμέλειαν ἔχοντες, καὶ κατ' ἐνιαυτὸν τοὺς νόμους διορθοῦντες· ἐκρίνετο δ' ἐν αὐτῷ τὰ δημόσια τῶν πραγμάτων· οἱ δικασταὶ τριώβολον ἐλάμβανον μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι· ἦσαν δὲ δύο κάδδοι ὁ μὲν ἐκ ξύλου, ἔνθα ἐτίθεσαν τὰς τῆς καταδίκης ψήφους· ὁ δὲ ἐκ χαλκοῦ, ἔνθα τὰς τῆς σωτηρίας ἐλέγετο

ΙΩΑΝΝΙΝΑ 2006

ὅτι ἀδελφὸν αὐτοῦ ἀποκτείναιμι ἐγὼ, ἐν τῷ χορῷ[5] φάρμακον ἀναγκάσας πιεῖν. Ἐπειδὴ οὗτος ταῦτ᾽ ἔλεγεν, ἀναβὰς ἐγὼ εἰς τὸ δικαστήριον, τοῖς αὐτοῖς δικασταῖς[6] ἔλεξα, ὅτι τὸν μὲν νόμον[7] οὐ δίκαιον οὐ προκαθῆσθαι εἰ Φιλοκράτης[8] κατηγορῶν καὶ διαβάλλων, εἰς τὸ δικαστήριον μελλόντων ἔσεσθαί μοι ἀγώνων πρὸς Ἀριστίωνα καὶ Φιλῖνον αὔριον τῇ ἕνῃ,[9] ὧν περ ἕνεκα τοὺς λόγους τούτους λέγει. Ἃ μέντοι αἰτιῷτο καὶ διαβάλλοι, ῥᾳδίως ἐξελεγχθήσοιτο ψευδόμενος. Εἰσὶ γὰρ οἱ συνειδότες πολλοὶ, καὶ ἐλεύθεροι καὶ δοῦλοι, καὶ νεώτεροι καὶ πρεσβύτεροι, σύμπαντες πλείους ἢ πεντήκοντα· οἳ τούς τε λόγους τοὺς λεχθέντας περὶ τῆς πόσεως τοῦ φαρμάκου, καὶ τὰ πραχθέντα καὶ τὰ λεγόμενα πάντα ἠπίσταντο. Καὶ εἰπόντε ταῦτα ἐν τῷ δικαστηρίῳ, καὶ προὐκαλούμην αὐτὸν εὐθὺς τότε, καὶ αὖθις τῇ ὑστεραίᾳ ἐν τοῖς αὐτοῖς δικασταῖς, καὶ ἰέναι ἐκέλευον λαβόντα μάρτυρας, ὁπόσους βούλοιτο ἐπὶ τοὺς παραγενομένους· λέγων αὐτῶν ὀνομαστὶ[10] ἕκαστον τούτους ἐπερωτᾷν, ἐλέγχειν· τοὺς μὲν ἐλευθέρους, (οἳ σφῶν ἕνεκα καὶ τοῦ δικαίου ἔφραζον ἂν τἀληθῆ καὶ τὰ γενόμενα) τοὺς δὲ δούλους, εἰ μὲν αὐτῷ ἐρωτῶντι τἀληθῆ δοκοῖεν λέγειν,[11] εἰ δὲ μὴ,[12] ἕτοιμοι σταῖεν[13] διδόναι βασανίζειν τρόπῳ ὁποίῳ βούλοιτο. Καὶ ταῦτα ἐμοῦ προκαλουμένου καὶ λέγοντος ἐν τῷ δικαστηρίῳ, οὗ καὶ αὐτοὶ οἱ δικασταὶ καὶ ἕτεροι ἰδιῶται πολλοὶ μάρτυρες παρῆσαν, οὔτε τότε παραχρῆμα, οὔτε ὕστερον ἐν παντὶ χρόνῳ οὐδέποτε ἠθέλησαν

---

δὲ οὕτω διὰ τὸ ὑπαίθριον αὐτὸ εἶναι, καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι τοὺς συνελθόντας δικαστάς. — 5. Ἐν τῷ χρόνῳ.) Εἰς τὴν συνέλευσιν τῶν παίδων συνελθόντων, ἵνα διδαχθῶσι χορεύειν. — 6. Τοῖς αὐτοῖς δικασταῖς.) Πρὸς οὓς δηλαδὴ καὶ Φιλοκράτης κατηγόρησεν ἐμοῦ. — 7. Τὸν μὲν νόμον.) Τὸν λέγοντα δηλ. τοὺς δικαστὰς μὴ δικάζειν δὶς ἐν τῇ αὐτῇ ἡμέρᾳ· Δημοσθ. ἐν Τιμοκράτει. τοῦτον δὴ τὸν νόμον δίκαιον προκαθῆσθαι· αἱ δύο γὰρ ἀρνήσεις μίαν ποιοῦσι κατάφασιν. — 8. Εἰ Φιλοκράτης.) Τὸ Εἰ κατ᾽ ἀνάλυσιν μετοχῶν ἀπολύτων· ὅθεν καὶ διὰ μετοχῶν ἐκφέρων τὸν λόγον, ῥῆμα ἀποδιδόμενον αὐταῖς ἤτοι ἐπελάθετο ἐπενεγκεῖν, ἢ ἀπὸ κοινοῦ εἴασαν ἐννοεῖν τὸ, λέγει τούτους τοὺς λόγους, ἢ γοῦν ἐννοεῖται τὸ Φαίνεται, ἢ τοιοῦτό τι· οἷον ἔλεξα ὅτι δίκαιόν ἐστι προκαθῆσθαι τὸν νόμον, εἰ καὶ Φιλοκράτης κατηγορῶν καὶ διαβάλλων λέγει τούτους τοὺς λόγους εἰς τὸ δικαστήριον, ἐν ᾧ αὔριον εἰς τρίτην μέλλουσιν ἔσεσθαί μοι ἀγῶνες πρὸς Ἀρίστωνα καὶ Φιλῖνον, ὧν περ ἕνεκα, εἴτ᾽ οὖν ἵνα ἀπαλλάξῃ αὐτοὺς τοῦ κινδύνου δι᾽ αὐτῆς τῆς παρεμπιπτούσης αἰτίας, τούτους τοὺς λόγους λέγει. — 9. Τῇ ἕνῃ.) Καὶ εἰς ἕνην τὸ εἰς τρίτην λέγουσι, φησὶν Ἁρποκρατίων, ὅθεν τῇ ἕνῃ τῇ τρίτῃ δουλοῦν δοκεῖ, ὅπερ ἐστὶ τῇ μετὰ τὴν αὔριον. — 10. Λέγων αὐτῶν ὀνομαστί.) Καὶ ἔλεγον ἵνα ἐρωτᾷ καὶ ἐλέγχῃ τῶν παραγενομένων, ἢ γοῦν τῶν μαρτύρων αὐτῶν ὀνομαστί· οἷον· ἔλεγον αὐτὸν Λάβε, ἐὰν θέλῃς, τὸν δεῖνα, τὸν δεῖνα· καὶ τλ. τὸ δὲ ἐπερωτᾷν, ἐλέγχειν ἀπὸ τοῦ Λέγων ἐξαρτῶνται. — 11. Δοκοῖεν λέγειν.) Ὑπακούεται, τότε αὐτοὺς ἐᾷν καὶ μὴ βασανίζειν. — 12. Εἰ δὲ μή.) Τὸ πρῶτον ἐννοεῖται κῶλον· οἷον· δοκοῖεν τἀληθῆ λέγειν· Σημείωσαι δὲ ὅτι ἐν ταῖς τοιαύταις ἐλλείψεσιν ἐν μὲν τῷ πρώτῳ μέρει τῆς περιόδου ἐλλείπει τὸ δεύτερον κῶλον τοῦ δευτέρου μέρους· ἐν δὲ τῷ δευτέρῳ, τὸ πρῶτον κῶλον, τὸ γὰρ δεύτερον ἐλλείπει. — 13. Ἕτοιμοι σταῖεν.) Κἀνταῦθα δοκεῖ ἐννοεῖσθαι, τὸ, ἔλεγον αὐτῷ ὅτι ἕτοιμοι.

ἐλθεῖν ἐπὶ τοῦτο τὸ δίκαιον, εὖ εἰδότες, ὅτι οὐκ ἂν τούτοις κατ᾽ ἐμοῦ ἔλεγχος ἐγένετο αὗτος, ἀλλ᾽ ἐμοὶ κατὰ τούτων, ὅτι οὐδὲν δίκαιον οὐδ᾽ ἀληθὲς ἠτιῶντο.

§ 8. Ἐπίστασθε δέ, ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται ἰσχυρόταται καὶ μέγισταί εἰσι τῶν ἐν ἀνθρώποις· καὶ ἔλεγχοι ἐκ τούτων σαφέστατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου, ὅπου εἶεν ἐλεύθεροι μὲν πολλοὶ οἱ συνειδότες, εἶεν δὲ δοῦλοι.[2] Καὶ ἐξείη μὲν τοὺς ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις μέγιστα καὶ περὶ πλείστου ἐστίν·[3] ἐξείη δὲ τοὺς δούλους ἑτέραις ἀνάγκαις,[4] ὑφ᾽ ὧν, καὶ ἢν μέλλωσιν ἀποθανεῖσθαι κατειπόντες, ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν. Ἡ γὰρ παροῦσα ἀνάγκη ἐν ἑκάστῳ ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης[5] ἔσεσθαι. Εἰς πᾶν τοίνυν ἐγὼ προὐκαλεσάμην τούτους,[6] καὶ ἐξ ὧν γε χρὴ ἄνθρωπον ὄντα τἀληθῆ καὶ τὰ δίκαια πυνθάνεσθαι, ἐξῆν αὐτοῖς[7]. πυνθάνεσθαι, καὶ πρόφασις οὐδεμία ὑπελείπετο. Καὶ ἐγὼ μὲν ὁ τὴν αἰτίαν ἔχων καὶ ἀδικῶν (ὡς οὗτοί φασιν) ἕτοιμος ἦν αὐτοῖς κατ᾽ ἐμαυτοῦ παρέχειν ἔλεγχον τὸν δικαιότατον· οἱ δ᾽ αἰτιώμενοι καὶ φάσκοντες ἀδικεῖσθαι, αὐτοὶ ἦσαν οἱ οὐκ ἐθέλοντες ἐλέγχειν εἴτι ἠδικοῦντο. Καὶ εἰ μὲν ἐγὼ τούτων προκαλουμένων, μὴ ἠθέλησα τοὺς παραγενομένους ἀποφῆναι[8] θεράποντας, ἢ ἐξαιτοῦσι μὴ ἤθελον ἐκδιδόναι,[9] ἢ ἄλλην τινὰ πρόκλησιν ἔφευγον, αὐτὰ ἂν ταῦτα μέγιστα τεκμήρια κατ᾽ ἐμοῦ ἐποιοῦντο, ὅτι ἀληθὴς ἦν ἡ αἰτία. Ἐπεὶ δ᾽ ἐμοῦ προκαλουμένου οὗτοι ἦσαν οἱ φεύγοντες τὸν ἔλεγχον, ἐμοὶ δήπου δίκαιον κατὰ τούτων τὸ αὐτὸ τοῦτο τεκμήριον γενέσθαι, ὅτι οὐκ ἀληθὴς ἦν ἡ αἰτία, ἣν αἰτιῶνται κατ᾽ ἐμοῦ.

§ 9. Ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες, ὅτι εἰ μὲν τούτοις ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες οἱ παραγενόμενοι, αὐτοῖς ἂν τούτοις ἰσχυροτάτοις[2] ἐχρῶντο, καὶ πίστιν ταύτην σαφεστάτην ἀπέφαινον, τοὺς μάρτυρας τοὺς καταμαρτυροῦντας· τῶν αὐτῶν δὲ τούτων[3] καταμαρτυρούντων, ἃ μὲν ἐγὼ λέγω, ἀληθῆ εἶναι· ἃ δὲ οὗτοι λέγουσιν, οὐκ ἀληθῆ, τοῖς μὲν μάρτυσι τοῖς μαρτυροῦσιν[4] ἀπιστεῖν ὑμᾶς διδάσκουσι, τοῖς δὲ λόγοις, οἷς αὐτοὶ λέγουσι, πιστεύειν ὑμᾶς φασὶ χρῆναι· οὓς ἐγώ, εἰ ἔλεγον, ἄνευ μαρτύρων, ψευδεῖς ἂν κατηγόρουν εἶναι. Καίτοι δεινόν, εἰ οἱ αὐτοὶ μὲν μάρτυρες,

§ 8. 2. Εἶεν δὲ δοῦλοι.) Ἀπὸ κοινοῦ τὸ Πολλοὶ οἱ συνειδότες. — 3. Καὶ περὶ πλείστου ἐστίν.) Ἐννοεῖται λόγου· ὡς παρ᾽ ἡμῖν, καὶ μεγίστη ὑπόθεσις. — 4. Ἀνάγκαις.) Ἀπὸ κοινοῦ τὸ Ἀναγκάζειν. — 5. Τῆς μελλούσης.) Ἀνάγκης. — 6. Τούτους.) Φιλοκράτην καὶ τοὺς μετ᾽ αὐτοῦ αἰτιωμένους καὶ φάσκοντας ἀδικεῖσθαι. — 7. Ἐξῆν αὐτοῖς.) Ὅπερ ἐστὶν ἐκ τούτων ἐξῆν ἐμοῦ γε ἕνεκα αὐτοῖς. — 8. Ἀποφῆναι.) Τὰ ὀνόματα αὐτῶν. — 9. Ἐκδιδόναι.) Τὰ σώματα αὐτῶν εἰς τὸ βασανίζειν.

§ 9. 2. Ἰσχυροτάτοις.) Τεκμηρίοις. — 3. Τῶν αὐτῶν δὲ τούτων.) Μαρτύρων δηλ. — 4. Τοῖς μαρτυροῦσιν.) Ἐμοὶ δηλ.

τούτοις ἂν μαρτυροῦντες, πιστοὶ ἦσαν, ἐμοὶ δὲ μαρτυροῦντες, ἄπιστοι ἔσονται. Καὶ εἰ μὲν πάνυ μὴ παρεγένοντο μάρτυρες, ἐγὼ παρειχόμην ἄν,[5] ἢ τοὺς παραγενομένους μὴ παρειχόμην, ἑτέρους δέ τινας, εἰκότως ἂν οἱ τούτων λόγοι πιστότεροι ἦσαν τῶν ἐμῶν μαρτύρων. Ὅπου δὲ μάρτυράς τε ὁμολογοῦσι παραγενέσθαι, καὶ ἐγὼ τοὺς παραγινομένους παρέχομαι εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, καὶ αὐτὸς ἐγώ, καὶ οἱ μάρτυρες πάντες, φανεροί ἐσμεν λέγοντες, ἅπερ νυνὶ πρὸς ὑμᾶς, πόθεν χρή, ὦ ἄνδρες, ἢ τἀληθῆ, πιστά, ἢ τὰ μὴ ἀληθῆ ἄπιστα ποιεῖν[6] ἄλλοθεν, ἢ ἐκ τῶν τοιούτων, ὅπου μὲν γὰρ λόγῳ τις διδάσκοι περὶ τῶν πραχθέντων, μάρτυρας δὲ μὴ παρέχοιτο, μαρτύρων ἄν τις τοὺς λόγους τούτους ἐνδεεῖς φαίη εἶναι· ὅπου δὲ μάρτυρας μὲν παρέχοιτο, τεκμήρια δὲ αὖ τοῖς μαρτυροῦσιν ὅμοια μὴ ἀποφαίνοιτο, ταὐτά[7] ἄν τις ἔχει εἰπεῖν, εἰ βούλοιτο. Ἐγὼ τοίνυν τούς τε λόγους ὑμῖν εἰκότας ἀποφαίνω, καὶ τοῖς λόγοις τοὺς μάρτυρας ὁμολογοῦντας, καὶ τοῖς μάρτυσι τὰ ἔργα, καὶ τεκμήρια ἐξ αὐτῶν τῶν ἔργων· καὶ ἔτι πρὸς τούτοις δύο τὼ μεγίστω καὶ ἰσχυροτάτω, τούτους μὲν αὐτούς τε ὑπὸ σφῶν αὐτῶν ἐξελεγχομένους καὶ ὑπ' ἐμοῦ, ἐμὲ δὲ ὑπό τε τούτων καὶ ὑπὸ ἐμαυτοῦ ἀπολυόμενον. Ὅπου γὰρ ἐθέλοντος ἐλέγχεσθαι ἐμοῦ περὶ ὧν ᾐτιῶντο οὗτοι, μὴ ἤθελον ἐλέγχειν, ἠδίκουν· καὶ ἐμὲ μὲν δήπου ἀπέλυον, αὐτοὶ δὲ κατὰ σφῶν αὐτῶν μάρτυρες ἐγένοντο, ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ᾐτιῶντο. Καὶ τοι εἰ πρὸς τοῖς ἐμαυτοῦ μάρτυσι τοὺς ἀντιδίκους αὐτοὺς μάρτυρας παρέχομαι, ποῖ ἔτι ἐλθόντα δεῖ, ἢ πόθεν ἀποδείξαντα, τῆς αἰτίας ἀπολελῦσθαι;

§ 10. Ἡγοῦμαι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων καὶ ἀποδεδειγμένων, ὦ ἄνδρες, δικαίως ἄν μου ἀποψηφίσασθαι ὑμᾶς, καὶ ἐπίστασθαι ἅπαντας, ὅτι οὐδέν μοι προσήκει τῆς αἰτίας ταύτης· ἵνα δ' ἔτι καὶ ἄμεινον μάθητε, τούτου ἕνεκα πλείω λέξω, καὶ ἀποδείξω ὑμῖν τοὺς κατηγόρους τούτους ἐπιορκοτάτους ὄντας καὶ ἀσεβεστάτους ἀνθρώπων· καὶ ἀξίους οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι, ἀλλὰ καὶ ὑφ' ὑμῶν πάντων καὶ τῶν ἄλλων πολιτῶν τῆς δίκης ἕνεκα ταυτησί. Οὗτοι γὰρ τῇ μὲν πρώτῃ ἡμέρᾳ, ᾗ ἀπέθανεν ὁ παῖς, καὶ τῇ ὑστεραίᾳ, ᾗ προέκειτο, οὐδ' αὐτοὶ ἠξίουν αἰτιᾶσθαι ἐμέ, οὐδ' ἀδικεῖν ἐν τῷ πράγματι τούτῳ οὐδέν, ἀλλὰ συνῆσαν ἐμοὶ καὶ διελέγοντο· τῇ δὲ τρίτῃ ἡμέρᾳ, ᾗ ἐξεφέρετο ὁ παῖς, ταύτῃ δὲ πεπεισμένοι ἦσάν τινες ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν, καὶ παρεσκευάζοντο αἰτιᾶσθαι, καὶ προαγορεύειν εἴργεσθαι τῶν νομίμων.[2] Τίνες δ' οὖν ἦσαν

— 5. Παρειχόμην ἄν.) Ἐννοεῖται Μάρτυρας. — 6 Ποιεῖν.) Ὅπερ ἐστίν, Ἄπιστα φῆναι ἢ ἀποφαίνειν. — 7 Ταὐτά.) Ὅπερ ἐστί, τὰ ὅμοια δηλαδὴ τοὺς τῶν μαρτύρων λόγους ἐνδεεῖς εἶναι τεκμηρίων.

§ 10 2. Εἴργεσθαι τῶν νομίμων.) Κατὰ τὸν νόμον τὸν λέγοντα, ἐπειδάν τις ἀπογραφῇ φόνου δίκην εἴργεσθαι τῶν

Εργ. Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

οἱ πείσαντες αὐτούς; καὶ τίνος ἕνεκα καὶ πρόθυμοι ἐγένοντο πεῖσαι αὐτούς; Δεῖ γάρ με καὶ ταῦτα ὑμᾶς διδάξαι· κατηγορήσειν ἔμελλον Ἀριστίωνος καὶ Φιλίνου, καὶ Ἀμπελίνου, καὶ τοῦ ὑπογραμματέως τῶν νομοθετῶν, μεθ᾽ οὗπερ συνέκλεπτον, περὶ ὧν[3] εἰσήγγειλα εἰς τὴν βουλήν· καὶ αὐτοῖς ἐκ μὲν τῶν πεπραγμένων οὐδεμία ἦν ἐλπὶς ἀποφεύξεσθαι (τοιαῦτα ἄρ᾽ ἦν τὰ ἠδικημένα). Πείσαντες δὲ τούτους ἀπογράφεσθαι, καὶ προαγορεύειν ἐμοὶ εἴργεσθαι τῶν νομίμων, ἡγήσαντο ταύτην σφίσιν ἔσεσθαι σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν πραγμάτων ἁπάντων. Ὁ γὰρ νόμος οὕτως ἔχει, ἐπειδάν τις ἀπογραφῇ φόνου δίκην εἴργεσθαι τῶν νομίμων. Καὶ οὔτ᾽ ἂν ἐγὼ οἷός τ᾽ ἦν ἐπεξελθεῖν εἰργόμενος τῶν νομίμων, ἐκεῖνοί τε, ἐμοῦ, τοῦ εἰσαγγείλαντος, καὶ ἐπισταμένου τὰ πράγματα, μὴ ἐπεξιόντος, ῥᾳδίως ἔμελλον ἀποφεύξεσθαι, καὶ δίκην οὐ δώσειν ὑμῖν, ὧν ἠδίκησαν. Καὶ τοῦτ᾽ οὐκ ἐπ᾽ ἐμοὶ πρῶτον ἐμηχανήσαντο Φιλῖνος καὶ οἱ ἕτεροι, ἀλλὰ καὶ ἐπὶ Λυσιστράτῳ πρότερον, ὡς αὐτοὶ ὑμεῖς ἠκούσατε. Καὶ οὗτοι[4] πρόθυμοι τότε ἦσαν ἀπογράφεσθαί με εὐθὺς τῇ ὑστεραίᾳ, ᾗ ὁ παῖς ἐθάπτετο, πρὶν τὴν οἰκίαν καθᾶραι, καὶ τὰ νομιζόμενα[5] ποιῆσαι, αὐτὴν ταύτην φυλάξαντες τὴν ἡμέραν, ἐν ᾗ ἔμελλεν ὁ πρῶτος ἐκείνων κριθήσεσθαι, ὅπως μηδὲ καθ᾽ ἑνὸς αὐτῶν οἷός τε γενοίμην ἐπεξελθεῖν, μηδ᾽ ἐνδεῖξαι τῷ δικαστηρίῳ τὰ ἀδικήματα.

§ 11. Ἐπειδὴ δὲ αὐτοῖς ὁ βασιλεὺς[2] τούς τε νόμους ἀνέγνω, καὶ χρόνον ἀπέδειξε, τί οὐκ ἐγχωροίη[3] ἀπογράψασθαι, καὶ τὰς κλήσεις[4] καλεῖσθαι ὅσας ἔδει, καὶ ἐγὼ τοὺς ταῦτα μηχανωμένους εἰσάγων εἰς τὸ δικαστήριον, εἷλον ἅπαντας,[5] καὶ ἐτιμήθη αὐτοῖς, ὧν ὑμεῖς[6] ἐπίστασθε, καὶ οὗτοι ὧν ἕνεκα[7] ἐλάμβανον χρήματα, οὐδὲν αὐτοῖς οἷοί τε ἦσαν ὠφελῆσαι. Τότε δὴ προσιόντες αὐτῷ τ᾽ ἐμοὶ καὶ τοῖς φίλοις, ἐδέοντο διαλλαγῆναι, καὶ δίκην ἕτοιμοι ἦσαν

---

νομίμων· ὡς παράγρ. 6. — 3. Περὶ ὧν.) Ἔμελλον δηλαδὴ κατηγορήσειν περὶ τούτων περὶ ὧν εἰσήγγειλα. — 4. Καὶ οὗτοι.) Ὁ Καὶ συμπερασματικός· ἀντὶ Οὗτοι οὖν. — 5. Καὶ τὰ νομιζόμενα.) Ὅσα δηλαδὴ ἦσαν νενομισμένα ποιεῖν μετὰ τὴν ἐκφορὰν τοῦ τεθνεῶτος.

§ 11. 2. Ὁ βασιλεύς.) Ἐννέα ἦσαν ἄρχοντες ἐν Ἀθήναις, ὧν ὁ πρῶτος ἐλέγετο Ἐπώνυμος, ἀφ᾽ οὗ καὶ τὸ ἔτος ἐσημειοῦτο· οἷον, ἐπὶ ἄρχοντος Πειθοδώρου ἐγένετο τόδε τι· ὁ δὲ δεύτερος βασιλεύς, ὁ δὲ τρίτος Πολέμαρχος· οἱ δὲ λοιποὶ ἓξ Θεσμοθέται, ὡς φύλακες τῶν κειμένων νόμων· ἕκαστος δὲ τούτων τῶν ἀρχόντων καὶ δικαστήριον ἴδιον εἶχε, περὶ διαφόρων πραγμάτων δικάζων. — 3. Τί οὐκ ἐγχωροίη.) Ἐνταῦθα δοκεῖ ἡ τρόπος τοῦ λέγειν ἦν οὕτω κατ᾽ ἔλλειψιν τοιαύτην, ἢ ἐξ ἀντιγραφῆς παρημέληταί τι· τὸ γὰρ ὅλον. Καὶ ἀπέδειξεν αὐτοῦ χρόνον καθ᾽ ὅν τινα χρόνον τί οὐκ ἐγχωρ. — 4. Καὶ τὰς κλήσεις.) Κλῆσις μὲν λέγεται ἐπὶ ὁποιονοῦν δικαστήριον, ἐπὶ δὲ τοῦ Ἀρείου πάγου πρόκλησις ἐλέγετο, ἔνθα καὶ ἐννοεῖται τὸ ἀπέδειξεν· οἷον· καὶ ἀπέδειξε τὰς κλήσεις, ὅσας καλεῖσθαι ἔδει. — 5. Ἅπαντας.) Ἀριστίωνα, Φιλῖνον, Ἀμπελῖνον. — 6. Ὧν ὑμεῖς.) Τοσούτων δηλαδὴ χρημάτων, ὅσα ὑμεῖς ἐπίστασθε. — 7. Καὶ οὗτοι, ὧν ἕνεκα.) Καὶ Φιλοκράτης δηλ. καὶ οἱ σὺν αὐτῷ ἐπὶ τούτοις, ἐφ᾽ οἷς ἐλάμβανον παρ᾽ ἐκείνων χρήματα, οὐκ ἠδυνήθησαν ὠφε-



ΙΩΑΝΝΙΝΑ 2006

διδόναι τῶν ἡμαρτημένων. Καὶ ἐγὼ πεισθεὶς ὑπὸ τῶν φίλων, διηλλάγην τούτοις ἐν τῇ πόλει[8] ἐναντίον μαρτύρων, οἵπερ διήλλαττον ἡμᾶς πρὸς τῷ νεῷ τῆς Ἀθηνᾶς· καὶ μετὰ τοῦτο συνῆσάν μοι καὶ διελέγοντο ἐν τοῖς ἱεροῖς, ἐν τῇ ἀγορᾷ, ἐν τῇ ἐμῇ οἰκίᾳ, ἐν τῇ σφετέρᾳ αὐτῶν, καὶ ἑτέρωθι πανταχοῦ. Τὸ τελευταῖον, ὦ Ζεῦ καὶ Θεοὶ πάντες! Φιλοκράτης αὐτὸς οὑτοσὶ ἐν τῷ βουλευτηρίῳ ἐναντίον τῆς βουλῆς, ἑστὼς μετ' ἐμοῦ ἐπὶ τοῦ βήματος, ἁπτόμενος ἐμοῦ διελέγετο, ὀνόματι οὗτος[9] ἐμὲ προσαγορεύων, καὶ ἐγὼ τοῦτον. Ὥστε δεινὸν δόξαι εἶναι[10] τῇ βουλῇ, ἐπειδὴ ἐπείθετο προειρημένον εἴργεσθαί μοι[11] τῶν νομίμων ὑπὸ τούτων, οὓς ἑώρα μοι τῇ προτέρᾳ συνόντας καὶ διαλεγομένους.

§ 12. Σκέψασθε δέ, καί μοι μνήσθητε, ὦ ἄνδρες. Ταῦτα γὰρ[2] οὐ μόνον μάρτυσιν ὑμῖν ἀποδείξω, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἔργων, ἃ τούτοις πέπρακται, ῥᾳδίως γνώσεσθε, ὅτι ἀληθῆ λέγω. Καὶ πρῶτον, ἃ τοῦ βασιλέως κατηγοροῦσι, καὶ διὰ τὴν ἐμὴν σπουδὴν[3] οὔ φασιν αὐτὸν ἐθέλειν ἀπογράφεσθαι τὴν δίκην, τοῦτο δὲ κατ' αὐτῶν τούτων ἔσται τεκμήριον, ὅτι οὐκ ἀληθῆ λέγουσιν. Ἔδει μὲν γὰρ τὸν βασιλέα, ἐπειδὴ ἀπεγράψατο, τρεῖς διαδικασίας[4] ποιῆσαι ἐν τρισὶ μησὶ τὴν δίκην δὲ[5] εἰσάγειν τετάρτῳ μηνί, ὥσπερ νυνί. Τῆς δ' ἀρχῆς αὐτῷ λοιποὶ δύο μῆνες ἦσαν Θαργηλιὼν καὶ Σκιῤῥοφοριών. Καὶ οὔτ' εἰσάγειν δήπου οἷός τ' ἂν ἦν ἐφ' ἑαυτοῦ, οὐδὲ παραδοῦναι[6] φόνου ἔξεστιν· οὐδὲ παρέδωκεν οὐδεὶς πώποτε βασιλεὺς ἐν τῇ γῇ ταύτῃ. Ἥντινα οὖν[7] μήτε εἰσάγειν μήτε παραδοῦναι ἐξῆν αὐτῷ, οὐδ' ἀπογράφεσθαι ἠξίου παρὰ τοὺς ἡμετέρους νόμους. Καὶ ὅτι οὐκ ἀδικεῖ αὐτούς, μέγιστον σημεῖον. Φιλοκράτης γὰρ οὑτοσὶ ἑτέρους τῶν ὑπευθύνων ἔσειε καὶ ἐσυκοφάντει· τούτου δὲ τοῦ βασιλέως, ὅν φησι δεινὰ καὶ σχέτλια ἐργάσασθαι, οὐκ ἦλθε[8] κατηγορήσων εἰς τὰς Ἀθήνας. Καίτοι τί ἂν ὑμῖν μεῖζον τούτου τεκμήριον ἀποδείξαιμι, ὅτι οὐκ ἠδικεῖτο, οὐδ' ὑπ' ἐμοῦ, οὔθ' ὑπ' ἐκείνου;

---

λῆσαι αὐτοῖς οὐδέν. — 8. Ἐν τῇ πόλει.) Ἀντὶ Ἐν τῇ ἀκροπόλει· ἐν γὰρ τῷ ναῷ τῆς Ἀθηνᾶς ἡ διαλλαγή· ὁ δὲ τῆς Ἀθηνᾶς ναὸς ἐν τῇ ἀκροπόλει ἦν. — 9. Οὗτος.) Ἰδίωμα δὲ τοῦτο δοκεῖ κατὰ τὸ παρ' ἡμῖν, ὁ καλὸς ἄνθρωπος, ἢ ὁ τοιαύτην ἀγαθὴν διάθεσιν ἔχων. — 10. Ὥστε δεινὸν δόξαι εἶναι.) Ὥστε ἔδοξε τῇ βουλῇ ὅτι ἐστὶ δεινὸν πειθομένῃ καὶ τ. λ. — 11. Εἴργεσθαί μοι.) Τὸ Μοὶ πρὸς τὸ προειρημένον φέρεται· οἷον ἐπειδὴ ἐπύθετο· ὅτι ἐμοὶ προείρητο ὡς εἴργομαι ὑπὸ τούτων ἐκ τῶν νομίμων.

§ 12. 2. Ταῦτα γὰρ κ. τ. λ.) Ἡ σύνταξις, Ταῦτα γὰρ ἃ λέγω ὅτι εἰσὶν ἀληθῆ οὐ μόνον ἀποδείξω μάρτυσιν, ἀλλὰ γνώσεσθαι ὅτι ἀληθῆ λέγω, καὶ ἐξ αὐτῶν τῶν ἔργων, ἃ ἔπραξαν οὗτοι. — 3. Καὶ διὰ τὴν ἐμὴν σπουδήν.) Καὶ διότι ἐσπούδαζε περὶ ἐμέ. — 4. Διαδικασίας.) Διαδικασία ἐστίν, ἣν ποιοῦνται τινὲς τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε χρὴ λειτουργεῖν αὐτούς· Βαρῖνος. — 5. Τὴν δίκην δέ.) Δίκη λέγεται, ἣν ἐπάγει τις κατά τινος ἰδίων οὖσα πραγμάτων· Βαρῖνος. — 6. Οὐδὲ παραδοῦναι.) Τῷ διαδέχῳ δίκην φόνου. — 7. Ἥν τινα οὖν.) Δίκην δηλ. — 8. Οὐκ ἦλθε.) Ἄρα Φιλοκράτης οὐκ ἐν Ἀθήναις.

§ 13. Ἐπειδὴ γὰρ οὑτοσὶ ὁ βασιλεύς[2] εἰσῆλθεν,[3] ἐξὸν αὐτοῖς ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις τοῦ Ἑκατομβαιῶνος μηνὸς τριάκονθ' ἡμέρας συνεχῶς, τούτων[4] ᾗ τινι ἐβούλοντο, ἀπογράφεσθαι, ἀπεγράφοντο οὐδεμιᾷ· καὶ αὖθις τοῦ Μεταγειτνιῶνος μηνὸς ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις ἐξὸν αὐτοῖς ἀπεγράφεσθαι εἴ τινι ἐβούλοντο, οὐδ' αὐτὸ ἐνταῦθα ἀπεγράψαντο, ἀλλὰ παρῆσαν[5] καὶ τούτου τοῦ μηνὸς εἴκοσιν ἡμέρας. Ὥστε αἱ σύμπασαι ἡμέραι ἐγένοντο αὐτοῖς πλέον ἢ πεντήκοντα ἐπὶ τούτου τοῦ βασιλέως· ἐν αἷς ἐξὸν αὐτοῖς ἀπογράψασθαι, οὐκ ἀπεγράψαντο. Καὶ οἱ μὲν ἄλλοι ἅπαντες, ὅσοις ἐπὶ τοῦ αὐτοῦ βασιλέως ὁ χρόνος μὴ ἐνεχώρει, οὗτοι δ' ἐπιστάμενοι μὲν τοὺς νόμους ἅπαντας, ὁρῶντες δέ με βουλεύοντα, καὶ εἰσιόντ' ἐς τὸ βουλευτήριον. (Καὶ ἐν τῷ[6] βουλευτηρίῳ Διὸς βουλαίου καὶ Ἀθηνᾶς βουλαίας ἱερόν ἐστι, καὶ εἰσιόντες οἱ βουλευταὶ προσεύχονται· ὧν κἀγὼ εἷς ἦν ὁ ταῦτα πράττων,[7] καὶ εἰς τἄλλα πάντα ἱερὰ εἰσιὼν μετὰ τῆς βουλῆς, καὶ θύων, καὶ εὐχόμενος ὑπὲρ τῆς πόλεως ταύτης, καὶ πρὸς τούτοις,[8] πρυτανεύσας τὴν πρώτην πρυτανείαν ἅπασαν, πλὴν δυεῖν ἡμέραιν, καὶ ἱεροποιῶν, καὶ θύων ὑπὲρ τῆς δημοκρατίας, καὶ ἐπιψηφίζων, καὶ λέγων γνώμας περὶ τῶν μεγίστων καὶ πλείστων καὶ πλείστου ἀξίων τῇ πόλει, φανερὸς ἦν.) Καὶ οὗτοι[9] παρόντες καὶ ἐπιδημοῦντες, ἐξὸν αὐτοῖς ἀπογράφεσθαι καὶ εἴργειν ἐμὲ τούτων ἁπάντων, οὐκ ἠξίουν ἀπογράφεσθαι· καὶ ἱκανὸν[10] ἦν ὑπομνῆσαι καὶ ἐνθυμηθῆναι εἴπερ ἠδικοῦντο, ἀμφότερα, καὶ σφῶν αὐτῶν ἕνεκα καὶ τῆς πόλεως. Διὰ τί οὖν οὐκ ἀπεγράφοντο; Διὰ τί συνῆσαν[11] καὶ διελέγοντο; Συνῆσάν τε γάρ μοι, οὐκ ἀξιοῦντες φονέα εἶναι, καὶ οὐκ ἀπεγράφοντο τούτου αὐτοῦ ἕνεκα, οὐχ ἡγούμενοί με ἀποκτεῖναι τὸν παῖδα, οὐδ' ἔνοχον εἶναι τοῦ φόνου, οὐδὲ προσήκειν μοι τοῦδε τοῦ πράγματος οὐδέν.

§ 14. Καίτοι πῶς ἂν ἄνθρωποι σχετλιώτεροι ἢ ἀνομώτεροι γένοιντο, οἵτινες, ἅπερ αὐτοὶ σφᾶς αὐτοὺς οὐκ ἔπεισαν, ταῦτα ὑμᾶς ἀξιοῦσι πεῖσαι, καὶ ἃ αὐτοὶ ἔργῳ ἀπεδίκασαν, ταῦτα ὑμᾶς κε-

---

§ 13. 2. Οὑτοσὶ ὁ βασιλεύς.) Ὁ νυνὶ δηλαδὴ βασιλεύων. — 3. Εἰσῆλθεν.) Ἐλλείπει εἰς τὴν βασιλείαν. — 4. Τούτων.) Δηλαδὴ τῶν ἡμερῶν. — 5. Ἀλλὰ παρῆσαν.) Παρὰ τοῦ πάρειμι, παρῆσαν, καὶ παρήεσαν. — 6. Καὶ ἐν τῷ.) Ὁ Καὶ οὗτος ἀντὶ τοῦ Δέ. ὁ δὲ ἑξῆς Καὶ εἰσιόντες ἀντὶ Ἔνθα εἰσιόντες· ἡ δὲ χρῆσις αὐτῶν τοιαύτη ἐκ τῆς περὶ τοῦ φθέγγεσθαι συνηθείας. — 7. Εἷς ἦν ὁ ταῦτα πράττων.) Εἷς ἦν καὶ ἐγὼ καὶ ἔπραττον ταῦτα· ἔστι δὲ Ὁ πράττων ἀντὶ Τῶν ταῦτα πραττόντων· ἦν ἄρα καὶ τοιαύτη ἡ συνήθεια τοῦ φθέγγεσθαι. — 8. Καὶ πρὸς τούτοις.) Πρὸς τὸ φανερὸς ἦν φέρεται καὶ πρὸς τούτοις πρυτανεύσας κ. τ. λ. φανερὸς ἦν καὶ ἱεροποιῶν κ. τ. λ. — 9. Καὶ οὗτοι.) Ἀντὶ Οὗτοι δέ, κατ' ἐπανάληψιν τοῦ πρώτου ῥηθέντος, διὰ γὰρ τῆς παρενθέσεως τὸ διεξοδικὸν ἐν ἀνάγκῃ ἐγένετο ἐπαναλαβεῖν τὸ Οὗτοι μετὰ τοῦ Καί· ὅς τις σημαίνει, καὶ ταῦτα ἐμοῦ ποιοῦντος, οὗτοι παρόντες. — 10. Καὶ ἱκανόν.) Καὶ ἱκανὸν ἦν αὐτοῖς. — 11. Συνῆσαν.) Ἐμοὶ δηλ. καὶ διελέγοντο ἐμοί.

λεύουσι καταδικάσαι; Καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐξελέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις ζητοῦσι τὰ ἔργα ἄπιστα καταστῆσαι. Καίτοι εἰ μηδὲν ἄλλο μήτε εἶπον, μήτε ἀπέφηνα, μήτε μάρτυρας παρεσχόμην, ἀλλὰ ταῦτα[2] ἡμῖν ἀπέδειξα, τούτους, ὅπου μὲν χρήματα λαμβάνοιεν ἐπ' ἐμοί, αἰτιωμένους καὶ προαγορεύοντας, ὅπου δὲ μὴ εἴη ὁ δώσων, συνόντας καὶ διαλεγομένους· ἱκανὰ ἦν καὶ αὐτὰ ταῦτα ἀκούσαντας[3] ἀποψηφίσασθαι, καὶ τούτους νομίζειν ἐπιορκωτάτους πάντων ἀνθρώπων. Οὗτοι γὰρ ποίαν δίκην οὐ δικάσαιντ' ἄν; ἢ ποῖον δικαστήριον οὐκ ἐξαπατήσειαν; ἢ τίνας ὅρκους οὐκ ἂν τολμήσειαν παραβαίνειν; οἵτινες καὶ νῦν τριάκοντα μνᾶς ἐπ' ἐμοὶ λαβόντες παρὰ τῶν ποριστῶν[4] καὶ τῶν πολιτῶν καὶ τῶν πρακτόρων, καὶ τῶν ὑπογραμματέων, οἳ τούτοις[5] ὑπεγραμμάτευον, ἐξελάσαντές με[6] ἐκ τοῦ βουλευτηρίου, ὅρκους τοσούτους διωμόσαντο, ὅτι πρυτανεύων,[7] πυθόμενος αὐτοὺς[8] δεινὰ καὶ σχέτλια ἐργάσασθαι, εἰσῆγον εἰς τὴν βουλήν, καὶ ἔδειξα ὡς χρὴ ζητοῦντας[9] ἐπεξελθεῖν τῷ πράγματι. Καὶ νῦν δίκην[10] διδόασιν, ὧν ἠδίκησαν, αὐτοί τε καὶ οἱ μετεγγυησάμενοι· καὶ παρ' οἷς[11] ἐτέθη τὰ χρήματα, καὶ τὰ πραχθέντα φανερὰ γεγένηται. Ὥστ', οὐδ' ἂν οὗτοι βούλωνται ἀρνεῖσθαι, ῥᾳδίως οἷοί τ' ἔσονται. Οὕτως αὐτοῖς[12] πέπρακται τὰ πράγματα. Ποῖον οὖν δικαστήριον οὐκ ἂν ἔλθοιεν ἐξαπατήσοντες; ἢ τίνας ὅρκους οὐκ ἂν τολμήσειαν παραβαίνειν οὗτοι οἱ ἀνοσιώτατοι; οἵτινες καὶ ὑμᾶς εἰδότες εὐσεβεστάτους τῶν Ἑλλήνων δικαστὰς καὶ δικαιοτάτους, καὶ ἐφ' ὑμᾶς ἥκουσιν ἐξαπατήσοντες, εἰ δύναιντο, ὅρκους τοσούτους διομοσάμενοι.

---

§ 14. 2. Ἀλλὰ ταῦτα.) Τὰ εἰρημένα μόνον δηλ. ὅτι οὗτοι, ὅπου μὲν . αἰτιῶνται καὶ προαγορεύουσιν· ὅπου δὲ . . . . σύνεισιν ἐμοὶ καὶ διαλέγονται. — 3. Ἀκούσαντας.) Ὑμᾶς δηλ. τοὺς δικαστάς. — 4. Παρὰ τῶν ποριστῶν.) Τὸν Ἀριστίωνα ἐννοεῖ, καὶ Φιλῖνον, καὶ Ἀμπελῖνον. — 5. Οἱ τούτοις.) τοῖς πορισταῖς, καὶ πράκτορσι. — 6. Ἐξελάσαντές με.) Ἐξήλασαν γὰρ αὐτὸν ἐκ τοῦ βουλευτηρίου ἀπογραψάμενοι φόνου· ὁ δὲ φόνου δίκην ἀπογραφείς, εἴργεται τῶν νομίμων, ὡς εἴρηται κεφ. 10. — 7. Ὅτι πρυτανεύων.) Καὶ ταῦτα ἐποίησαν, ἐπειδὴ ὅτε ἐπρυτάνευον. — 8. Αὐτούς.) Τοὺς δόντας τοῖς . . . τριάκοντα μνᾶς. — 9. Ζητοῦντας.) Τοὺς βουλευτάς. — 10. Καὶ νῦν δίκην.) Οἵτινες δηλαδὴ λαβόντες, ἐξελάσαντες, καὶ διομόσαντες, καὶ νῦν δίκην διδόασιν αὐτοί τε, ὁ Φιλοκράτης δηλαδὴ καὶ οἱ σὺν αὐτῷ, οἱ λαβόντες τὰς τριάκοντα μνᾶς, καὶ οἱ μετεγγυησάμενοι ὁ Ἀριστίων, ὁ Φιλῖνος, καὶ Ἀμπελῖνος. — 11. Καὶ παρ' οἷς.) Καὶ ἐκεῖνοι δηλαδή, παρ' οἷς ἐτέθη παρ' αὐτῶν τὰ χρήματα ὡς μεσίταις. — 12. Οὕτως αὐτοῖς.) Ἀμελῶς δηλαδή, ἢ ἀνοήτως, ἢ ῥαθύμως.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006